τὸν τόπον ἐκεῖνον· οὐδὲ γὰρ ἡ τοῦ ἐπισκόπου ἐλαττοῦται τιμή, παραδείγματος χάριν, ὅταν μὴ ἐπιμάθηται ἐνεργείᾳ τῷ οἰκείῳ θρόνῳ. Καὶ οἱ δαίμονες δὲ ὁμοίως, εἰ καὶ μὴ ἐνεργείᾳ δέοιντο τῷ τῆς γεέννης πυρί, ἐφόσον ἐν τῷ ὁμιχλώδει ἀέρι εἰσίν, ἀλλὰ τῷ γινώσκειν ὀφείλεσθαι αὐτοῖς f. 235v τὸν τοιοῦτον δεσμὸν ἱκανῶς τιμωροῦνται, | ὥσπερ τὸ τῆς γεέννης πῦρ περιφέροντες. Εἰ δὲ ἐζήτησαν μὴ ἀποσταλῆναι εἰς τὴν ἄβυσσον, ὡς ἐν τῷ κατὰ Λουκᾶν λέγεται, ἐνόμιζον τιμωρίαν ἑαυτοῖς εἶναι, εἰ ὑπερορίζοιντο τοῦ τόπου, ἐν ᾧ βλάπτειν δύνανται τοὺς ἀνθρώπους. Ὅθεν ἐν τῷ πέμπτῳ τοῦ κατὰ Ματθαῖον ἐναργέστερον παρεκάλουν, ἵνα μὴ ἀπελάσῃ αὐτοὺς ἔξω τῶν ὁρίων.

## Traité de la création corporelle.

### LXV. — Περὶ τῆς δημιουργίας τῆς σωματικῆς κτίσεως.

1. Ὅτι καὶ ἡ σωματικὴ κτίσις ἐκ Θεοῦ δεδημιούργηται, ὡς ἐν Ψαλμοῖς λέγεται· „Ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς“.

Αἱρετικῶν δέ τινων γέγονε δόξα τὰ ὁρατὰ κτίσματα ἐξ ἀρχῆς ἑτέρας πονηρᾶς δημιουργηθῆναι, ἠπατημένων τῷ ῥητῷ τοῦ Ἀποστόλου ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ λέγοντος· „Ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰς διανοίας τῶν ἀπίστων“. Ἀδύνατον δὲ τοῦτο. Εἰ γάρ τινα διάφορα καθ' ἓν ἑνοῖντο, ἐπεὶ ἀδύνατον ἑνοῦσθαι καθ' ἑαυτά, δεῖ εἶναί τινα αἰτίαν μίαν, ἀφ' ἧς δέχονται ἐκεῖνο τὸ ἕν, ὥσπερ τὰ διάφορα θερμὰ σώματα ἔχουσιν ἀπὸ τοῦ πυρὸς τὴν θέρμην. Ἀλλ' ἐν πᾶσι πράγμασι κἂν ὁπόσον ᾖ διάφορα, αὐτὸ τὸ εἶναι οἰκείως εὑρίσκεται· ἀνάγκη τοίνυν αὐτοῦ μίαν ἐν πᾶσιν εἶναι ἀρχήν, ἀφ' ἧς ἕξουσι τὸ εἶναι πάντα τὰ ὁπωσοῦν ὄντα, εἴτε ὁρατά, εἴτε ἀόρατα, καὶ εἴτε σωματικά, εἴτε ἀσώματα.

Λέγεται δὲ ὁ διάβολος θεὸς εἶναι τοῦ αἰῶνος τούτου οὐ τῷ δημιουργῆσαι, ἀλλ' ὅτι οἱ κοσμικῶς ζῶντες αὐτῷ ζῶσιν, ὃν τρόπον καὶ ἐν τῇ πρὸς Φιλιππησίους λέγεται· „Ὧν θεὸς ἡ κοιλία“.

Εἰ δὲ δοκεῖ τισιν, ὅτι τὰ σωματικὰ κτίσματα ἀφέλκουσιν ἀπὸ τοῦ Θεοῦ, κατὰ τὸ ἐν τῇ πρὸς Κορινθίους· „Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα“, ἀλλὰ ὅσον τὸ ἐπ' αὐτοῖς, οὐκ ἀφέλκουσιν, ἄγουσι μὲν οὖν εἰς αὐτόν· „Τὰ γὰρ ἀόρατα τοῦ Θεοῦ, τοῖς ποιήμασι νοούμενα, καθορᾶται“, ὡς ἐν τῇ πρὸς Ῥωμαίους φησὶν ὁ Ἀπόστολος, ἀλλὰ διὰ τὴν ἁμαρτίαν γίνεται τοῦτο τῶν ἀφρόνως αὐτοῖς χρωμένων. Ὅθεν ἐν τῷ δεκάτῳ τετάρτῳ τῆς Σοφίας λέγεται, ὅτι· „Τὰ κτίσματα εἰς παγίδα γεγόνασι τοῖς τῶν ἀφρόνων

---

**9** Matth. 8, 31 **16** Ps. 145, 6 **20** II Cor. 4, 4 **30** Phil. 3, 19
**32** II Cor. 4, 18 **34** Rom. 1, 20 **37** Sap. 14, 11

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ποσίν. Ἀλλὰ καὶ αὐτὸ τοῦτο τὸ ἀπάγειν τοὺς τοιούτους ἀπὸ Θεοῦ μαρτύριόν ἐστι τοῦ εἶναι ἀπὸ Θεοῦ· οὐ γὰρ ἄλλως ἀφέλκουσι τοὺς ἄφρονας ἀπὸ τοῦ Θεοῦ ἢ τῷ γεύειν αὐτοὺς ἀγαθοῦ τινος ἐν αὐτοῖς ὄντος, ὅπερ ἔχουσιν ἀπὸ τοῦ Θεοῦ.

2. Ὅτι ἡ σωματικὴ κτίσις διὰ μόνην γέγονε τὴν ἀγαθότητα τοῦ Θεοῦ, ὡς ἐν ταῖς Παροιμίαις εἴρηται· „Πάντα δι' ἑαυτὸν ἐποίησεν ὁ Κύριος".

Περὶ τούτου Ὠριγένης φαύλως ἐδόξασεν, ὅτι ἡ σωματικὴ κτίσις f. 236 οὐκ ἐκ τοῦ πρώτου σκοποῦ τοῦ Θεοῦ γέγονεν, ἀλλὰ πρὸς τιμωρίαν τῆς ἀσωμάτου, ἁμαρτούσης. Ἀλλὰ τοὐναντίον περὶ ἑκάστου τῶν σωματικῶν ὁ Θεὸς εἶπεν, ὅτι καλόν, ὡς δι' ἑαυτὸ ἑκάστου ἀγαθοῦ ὄντος, μετὰ τῆς πρὸς τὸ κοινὸν μέντοι ἀγαθὸν τάξεως. Ὅθεν τῆς δόξης ἐκείνης ἀπορριπτομένης, δεῖ φρονεῖν, ὅτι ἕκαστον τῶν κτισμάτων ἐστι διὰ τὴν ἰδίαν ἐνέργειαν καὶ τελειότητα· ἔπειτα, ὅτι τὰ ἀτιμότερα τῶν τιμιωτέρων ἕνεκα ἔστιν, καὶ τὰ ὑπὸ τὸν ἄνθρωπον διὰ τὸν ἄνθρωπον· ἔπειτα, ὅτι πάντα τὰ μέρη διὰ τὴν τελειότητα τοῦ ὅλου εἰσίν· ἔπειτα, περαιτέρω, ὅτι καὶ αὐτὸ τὸ ὅλον μετὰ τῶν μερῶν αὐτοῦ καὶ εἰς τέλος τέτακται τὸν Θεόν, καθόσον ἐν αὐτοῖς διά τινος ὁμοιώσεως ἡ θεία παραδείκνυται ἀγαθότης, ὅσον πρὸς τὴν τοῦ Θεοῦ δόξαν, εἰ καὶ τὰ λογικὰ ἰδιαίτερον ἔχουσιν οἰκεῖον τέλος, τὸν Θεόν, οὗ τῇ ἑαυτῶν ἐνεργείᾳ ἐφάπτεσθαι δύνανται νοοῦντα καὶ ἀγαπῶντα. Καὶ τοῦτο δῆλον ἐφ' ἑνὸς τοῦ ἀνθρώπου· ὁ μὲν γὰρ ὀφθαλμὸς διὰ τὸ ὁρᾶν ἔστιν, ὅπερ ἐστὶν ἰδία αὐτοῦ ἐνέργεια, καὶ ἐπὶ τῶν ἄλλων μορίων ὡσαύτως· ἀλλ' ἡ αἴσθησις διὰ τὸ τιμιώτερον, τὸν νοῦν, καὶ ὁ πνεύμων διὰ τὴν καρδίαν, εἶτα πάντα τὰ μέρη διὰ τὴν τελειότητα τοῦ ὅλου, ὡς ἡ ὕλη διὰ τὸ εἶδος, καὶ ἀμφότερα διὰ τὸ ὅλον, καὶ τὸ σῶμα διὰ τὴν ψυχήν, καὶ ὅλος ὁ ἄνθρωπος διά τι τέλος ἔξωθεν ὄν, ἵνα ἀπολαύοι τοῦ Θεοῦ δηλονότι. Δῆλον οὖν οὕτως, ὅτι ἡ θεία ἀγαθότης καὶ τῶν σωματικῶν πάντων τέλος ἐστίν. Εἰ γὰρ καὶ διὰ τὰ ἀσώματα ἐδημιουργήθη τὰ σωματικὰ τρόπον τινά, ἀλλὰ τὸ προσεχὲς τέλος οὐκ ἀναιρεῖ τὸ ἔσχατον, ὅ ἐστιν ἡ θεία ἀγαθότης.

3. Ὅτι ἡ σωματικὴ κτίσις ἀμέσως ἐκ τοῦ Θεοῦ καὶ οὐ μεσιτευόντων τῶν ἀγγέλων προήχθη. „Ἐν ἀρχῇ γάρ, φησίν, ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν", διὰ τὸ μηδὲν δύνασθαι κτίζειν, ὡς εἴρηται, πλὴν τοῦ Θεοῦ μόνου, ὅς ἐστι πρώτη πάντων αἰτία, ὡς ἀποδέδεικται πρότερον. Ἡ δὲ τῶν κτισμάτων ὁμολογουμένη τάξις οὐχ ὥστε ἓν τῶν κτισμάτων ὑπ' ἄλλου κτίζεσθαι γέγονεν ἐκ Θεοῦ, ἀλλ' ὥστε διὰ τὴν θείαν σοφίαν διαφόρους βαθμοὺς ἐν τοῖς οὖσι συστῆναι.

Οὔτε ἡ θεία ἁπλότης παρενοχλεῖται ἐντεῦθεν· εἷς γὰρ ὤν, ὡς ἀποδέδεικται, διαφόρων ἐστὶ γνωστικός, ὥς τε καὶ ποιητής, ὅτι κατὰ τὰ διά-

31 Gen. 1, 1



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φορα γνωστὰ καὶ ἡ τῶν διαφόρων παραγωγὴ κατὰ τὴν θείαν σοφίαν, ὥσπερ καὶ ὁ τεχνίτης τῷ διάφορα εἴδη νοεῖν διάφορα ποιεῖ τεχνητά.

f. 236v 4. Ὅτι οὐδὲ τὰ σωματικὰ εἴδη ἐκ τῶν ἀγγέλων εἰσίν, ἀλλ' ἐκ τοῦ Θεοῦ μόνου ἐδημιουργήθησαν, οὗ μόνου τῷ νεύματι ὑπακούει ἡ ὕλη ὥσπερ ἰδίᾳ αἰτίᾳ. Καὶ νῦν δέ, μετὰ τὴν πρώτην δημιουργίαν, ἐν τῇ ὁδῷ τῆς γενέσεως οὐκ ἔστιν αἰτία τῶν σωματικῶν εἰδῶν εἶδός τι ἄϋλον, ἀλλὰ μᾶλλόν τι σύνθετον, ὥσπερ τὸ πῦρ τόδε ἐκ τοῦδε τοῦ πυρὸς γεννᾶται. Οὕτω τοίνυν τὰ σωματικὰ γίνονται εἴδη νῦν οὐχ ὡς ἀΰλου εἴδους ἀπορρυέντα, ἀλλ' ὡς τῆς ὕλης ἐκ δυνάμεως εἰς ἐνέργειαν προαχθείσης ὑπό τινος συνθέτου ποιοῦντος. Ἀλλ' ἐπεὶ τὸ σύνθετον ποιοῦν ὑπὸ τῆς ἀσωμάτου καὶ κτιστῆς οὐσίας δύναται κινεῖσθαι, καὶ τῶν ἐν ταύτῃ εἰδῶν ἑπομένως, ἃ ὥσπερ σπερματικοὶ λόγοι εἰσὶ τῶν σωματικῶν εἰδῶν, καὶ τὰ οὐράνια δὲ σώματα ποιοῦσιν ἐν τοῖς ὑποκάτω τούτοις, δεῖ λέγειν ὅτι, εἰ καὶ τὰ ἐν τῇ ὕλῃ εἴδη, οὐ καθ' αὑτὰ ὄντα, ὡς αἱ χωρισταὶ οὐσίαι, ἀλλὰ μετοχῇ οὕτω λεγόμενα καὶ ὄντα, ἀνάγονται ἐπὶ τὰ κυρίως εἴδη, οὔτε ἐπί τινα εἴδη ἀνάγονται καθ' αὑτὰ ὑφεστῶτα τοῦ αὐτοῦ ὄντα ὁρισμοῦ, ὡς οἱ Πλατωνικοὶ ἔλεγον· καὶ εἰ πρὸς εἴδη νοητὰ ἀνάγονται ἢ τοῦ ἀγγελικοῦ νοῦ, ἢ ἐπέκεινα τοὺς λόγους τοῦ θείου νοῦ, οὐχ ὡς κατὰ ἀπόρροιαν ἀπ' ἐκείνων προϊόντα, ἀλλ' ὡς διὰ κινήσεως εἰς τὴν ἐντελέχειαν προαγόμενα· καὶ τὰ οὐράνια δὲ σώματα αἴτιά πως τῶν ἐνύλων εἰδῶν, οὐκ ἀποχεύοντα αὐτὰ τοῖς ὑποκάτω τούτοις, ἀλλ' ἀναιροῦντα τὸ κωλύον, καὶ ὥσπερ κινοῦντα πρὸς τὴν μεταβολὴν ἐκ τῆς δυνάμεως εἰς τὴν ἐντελέχειαν.

## LXVI. — Περὶ τῆς δημιουργίας καὶ διακρίσεως τῶν σωματικῶν.

1. Ὅτι τὸ τῆς ὕλης ἀνείδεον οὐ προηγήσατο χρόνῳ τῆς εἰδοποιήσεως ταύτης. Ἡ γὰρ μόρφωσις τελειότης τίς ἐστι τῆς σωματικῆς κτίσεως, ἥτις τῷ ἔργῳ τῆς διακρίσεως γέγονεν, ᾗ ἀντίκειται ἡ σύγχυσις, ὡς καὶ τῇ μορφώσει τὸ ἀνείδεον. Εἰ οὖν τὸ ἀνείδεον χρόνῳ προηγήσατο ἐν τῇ ὕλῃ, εἵπετο ἂν ἐξ ἀρχῆς τῆς σωματικῆς κτίσεως σύγχυσιν εἶναι, ἣν οἱ ἀρχαῖοι χάος ἐκάλουν. Ἀλλ' ἀνάγκη λέγειν τὴν πρώτην ὕλην μήτε παντελῶς ἄνευ εἴδους κτισθῆναι, μήτε ὑφ' ἓν εἶδος κοινόν, ἀλλ' ὑπὸ εἴδεσιν διακεκριμένοις, ὥστε μὴ χρόνῳ, ἀλλ' αἰτίᾳ μόνῃ προηγήσασθαι τὸ ταύτης ἀνείδεον, καὶ ὡς ἡ δύναμις καθ' αὑτὴν προτέρα τῆς ἐντελεχείας ἐστίν. Ἐπεὶ δὲ δυνατὸν νοεῖσθαι τὸ ἀνείδεον οὐχ ὡς ἀναίρεσιν παντὸς εἴδους, ἀλλ' ὡς στέρησιν τῆς νῦν φαινομένης ἐν τῇ κτίσει ὡραιότητος καὶ τοῦ κάλλους,
f. 237 οὕτω δεῖ λέγειν, ὅτι | καὶ χρόνῳ προηγήσατο τὸ ἀνείδεον τῆς διαμορφώσεως. Κατὰ γὰρ τὸ τῆς Γενέσεως γράμμα, τριπλῆς τινος μορφώσεως ἐστερεῖτο τὸ πᾶν εὐθὺς δημιουργηθέν· ἀπῆν τε γὰρ ὅλου τοῦ διαφανοῦς σώματος, ὅπερ οὐρανὸς καλεῖται, τὸ τοῦ φωτὸς κάλλος, „καὶ σκότος ἦν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐπάνω τῆς ἀβύσσου", φησίν· καὶ ἀπῆν τὸ διπλοῦν κάλλος τῆς γῆς, τότε ὁρᾶσθαι τοιαύτην οὖσαν· συνεκεκάλυπτο γὰρ τοῖς ὕδασιν· „Καὶ ἡ γῆ ἦν ἀόρατος", φησίν· καὶ ὁ ἐκ τῶν φυτῶν καὶ βοτανῶν κόσμος, ὃ βούλεται ἡ τοῦ ἀκατασκεύαστον γεγονέναι προσθήκη, τουτέστιν ἀκόσμητον.

Εἰ δὲ καὶ ἐν τοῖς Φυσικοῖς ἡ δύναμις χρόνῳ τῆς ἐντελεχείας προηγεῖται, καὶ τὸ ἀνείδεον τοῦ εἴδους, ἀλλ' ὁ Θεὸς ἐνεργείᾳ παρήγαγεν ἐκ τοῦ μὴ ὄντος τὸ ὄν, καὶ διὰ τοῦτο τέλειον αὐτίκα τὸ πρᾶγμα παρήγαγε κατὰ τὸ μέγεθος τῆς αὐτοῦ δυνάμεως. Καὶ ὅτι δὲ τὸ συμβεβηκὸς εἶναι χωρὶς τοῦ ὑποκειμένου ποιεῖ ὁ Θεός, ὡς ἐν τῷ μυστηρίῳ, ὥστε τι ἐκώλυε καὶ τὴν ὕλην εἴδους χωρὶς ποιεῖν, καὶ μᾶλλον οὖσαν τοῦ συμβεβηκότος, οὐ πρὸς λόγον ἐστίν· τὸ γὰρ συμβεβηκός, εἶδος ὄν, ἐντελέχεια τίς ἐστιν ἡ δὲ ὕλη καθὸ ἔστι, δυνάμει ἐστὶν ὄν· ὅθεν τὸ εἶναι ἐνεργείᾳ μᾶλλον μάχεται τῇ ἄνευ εἴδους ὕλῃ ἢ τῷ ἄνευ ὑποκειμένου συμβεβηκότι.

2. Ὅτι οὐ μία ἡ ἀνείδεος ὕλη τῶν σωματικῶν ἁπάντων· τὰ γὰρ κατὰ τὴν ὕλην κοινωνοῦντα εἰς ἄλληλα μεταβαίνει, καὶ δρῶσι καὶ πάσχουσιν ὑπ' ἀλλήλων, ὡς ἐν τῷ πρώτῳ περὶ γενέσεως καὶ φθορᾶς λέγεται. Τὰ δὲ οὐράνια σώματα καὶ τὰ ὑποκάτω οὐχ οὕτως ἔχει πρὸς ἄλληλα· ὥστε καὶ τὸ συμπέρασμα.

Ἰστέον ὅτι Πλάτωνος καὶ πάντων τῶν πρὸ Ἀριστοτέλους δόξα γέγονεν ἅπαντα τὰ σώματα ἐκ τῆς τῶν τεσσάρων στοιχείων φύσεως εἶναι, καὶ ἀκολούθως μιᾶς ὕλης εἶναι, ὥσπερ καὶ τῶν στοιχείων ἡ ὕλη μία· τὴν δὲ ἐνίων σωμάτων ἀφθαρσίαν οὐ τῇ φύσει τῆς ὕλης ἀπέδωκεν, ἀλλὰ τῇ θείᾳ βουλήσει, ὡς ἐν Τιμαίῳ· ἣν ἐλέγχει δόξαν Ἀριστοτέλης τῷ παρηλλαγμένῳ τῆς φυσικῆς κινήσεως τοῦ οὐρανίου σώματος καὶ τῶν στοιχείων· καὶ ὥσπερ ἡ κυκλοφορικὴ κίνησις ἐναντιότητος ἀπήλλακται, αἱ δὲ τῶν στοιχείων κινήσεις ἐναντίαι ἀλλήλαις, οὕτω καὶ τὸ οὐράνιον σῶμα ἄνευ ἐναντιότητος λέγει, τὰ δὲ στοιχεῖα σὺν αὐτῇ εἶναι, καὶ τῆς γενέσεως καὶ φθορᾶς ἐκ τῶν ἐναντίων οὔσης, καὶ ἄφθαρτον εἶναι τὸ οὐράνιον σῶμα.

Δεῖ τοίνυν εἰδέναι, ὅτι τοῦ φθαρτοῦ καὶ ἀφθάρτου σώματος μίαν εἶναι κατὰ φύσιν ὕλην ἀδύνατον· ἡ γὰρ ὕλη καθ' αὑτὴν θεωρουμένη δυνάμει ἐστὶ πρὸς πάντα τὰ εἴδη, ᾗ ἐστιν ἐν δυνάμει, πρὸς εἶδος εἶναι ὀφείλουσα, | καὶ ἔστι δυνάμει πρὸς πάντα, ὧν ἐστι μία ὕλη κοινή. Εἰ f. 237ᵛ οὖν μία τῶν ἀφθάρτων καὶ φθαρτῶν ὑπάρχει, ἡ ἐν εἴδει ἀφθάρτου σώματος οὖσα, ἔτι δυνάμει ἔσται πρὸς εἶδος φθαρτοῦ σώματος· καὶ εἰ μὴ ἐνεργείᾳ τοῦτ' ἔχοι, ἔσται ὁμοῦ ἐν εἴδει καὶ ἐν στερήσει· τὸ γὰρ μὴ εἶναι τὸ εἶδος ἐν τῷ ὑποκειμένῳ ὃ πέφυκεν ἔχειν, στέρησίς ἐστιν· αὕτη δὲ ἡ διάθεσις τοῦ φθαρτοῦ σώματός ἐστι, καὶ οὕτως τὸ ἄφθαρτον σῶμα φθαρτὸν ἔσται. Ἀνάγκη τοίνυν τὴν ὕλην τοῦ οὐρανίου σώματος, καθ' αὑτὴν θεωρουμένην, πρὸς μόνον τὸ εἶδος ὅπερ ἔχει εἶναι δυνάμει, εἴτε ψυχή, ὡς Ἀβερόης καὶ ἄλλοι ἔλεγον, εἴτε τι τοιοῦτον εἴη. Πρὸς γὰρ τὸ προκείμενον



Ε.Υ.Δ της Κ.Π
ΙΩΑΝΝΙΝΑ 2006

οὐ διαφέρει καὶ τὴν ὕλην ἐκείνην οὕτω τελειοῦσθαι τῷ εἴδει ἐκείνῳ, ὥστε μηδαμῶς ἐν τῷ οὐρανῷ παραμένειν τὸ πρὸς τὸ εἶναι δυνάμει, ἀλλὰ πρὸς τὸ ποῦ μόνον· καὶ ταύτῃ μόνον κοινωνοῦσιν ἡ ὕλη τοῦ οὐρανοῦ καὶ τῶν στοιχείων, κατ' ἀναλογίαν δηλαδή, ὡς κοινωνοῦντα ἐν τῷ τοῦ δυνάμει λόγῳ ἀναλογικῶς.

3. Ὅτι ἔμπυρος οὐρανὸς συνδεδημιούργηται τῇ ἀνειδέῳ ὕλῃ, ἄνευ τινὸς δουλείας καὶ φθορᾶς καὶ μεταβολῆς ὤν, καὶ παντάπασι φωτεινός, οἵα καὶ πᾶσα ἡ σωματικὴ κτίσις μετὰ τὴν ἀνάστασιν ἔσται· ἔμπυρος δὲ οὐκ ἀπὸ τῆς καύσεως ἀλλ' ἀπὸ τῆς αἴγλης.

4. Ὅτι καὶ ὁ χρόνος τῇ ἀνειδέῳ συνδεδημιούργηται ὕλῃ· τέσσαρα γὰρ κοινῶς ὑπὸ πάντων λέγονται συγκτισθῆναι· ἡ ἀγγελικὴ κτίσις, ὁ ἔμπυρος οὐρανός, ἡ ἀνείδεος ὕλη τῶν κτισμάτων, καὶ ὁ χρόνος.

## LXVII. — Περὶ τοῦ ἔργου τῆς πρώτης ἡμέρας, ἤγουν περὶ φωτός.

1. Ὅτι τὸ φῶς κυρίως μὲν περὶ τοῦ σωματικοῦ λέγεται· ἐτέθη γὰρ πρώτως πρὸς τὸ σημαίνειν τὸ φανεροῦν τῇ τῆς ὁράσεως αἰσθήσει· ἑπομένως δὲ καὶ περὶ τῶν ἀσωμάτων· ἐξετάθη γὰρ ἐπὶ τὸ σημαίνειν πᾶν δηλωτικὸν κατὰ πᾶσαν γνῶσιν, ὡς καὶ τὸ ὄνομα τῆς ὁράσεως, ἐπὶ τῆς ὁρατικῆς αἰσθήσεως πρώτως τεθὲν διὰ τὸ βέβαιον καὶ ὑπερέχον τῆς τοιαύτης αἰσθήσεως, καὶ πρὸς τὴν κοινὴν γνῶσιν τῶν λοιπῶν αἰσθήσεων ὑπὸ τῆς συνηθείας ἐξήπλωται, ὡς ὅταν λέγωμεν· ἴδε πῶς ἐστιν ἡδύ, ἢ πῶς εὐῶδες, ἢ θερμόν· καὶ περαιτέρω ἐπὶ τῶν νοητῶν, ὡς ἐν τῷ „μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται". Ὅσον οὖν πρὸς τὸ σημαίνειν τὴν φανέρωσιν, κυρίως καὶ ἐπὶ τῶν ἀσωμάτων λέγεται, εἰ καὶ ὅσον πρὸς τὴν αἰτίαν τῆς θέσεως, οὐ κυρίως.

2. Ὅτι οὐκ ἔστι σῶμα τὸ φῶς· δύο μὲν γὰρ σώματα ἀδύνατον ὁμοῦ εἶναι· τὸ δὲ φῶς ὁμοῦ ἐστι τῷ ἀέρι. Οὐκ ἐκ τοῦ τόπου μόνον, ἀλλὰ καὶ
f. 238 ἐκ τῆς κινήσεως δῆλον, καὶ τοῦ λόγου ταύτης· | εἰ γὰρ ἦν σῶμα τὸ φῶς, τὸ φωτίζειν ἦν ἂν κίνησις τοπικὴ σώματος· οὐδεμία δὲ κατὰ τόπον κίνησις σώματός τινος ἀθρόον δύναται εἶναι διὰ τὸ πᾶν τὸ κατὰ τόπον κινούμενον ἀναγκαίως πρότερον εἰς τὸ τοῦ μεγέθους μέσον ἔρχεσθαι ἢ εἰς τὸ ἄκρον· ἡ δὲ λάμψις ἀθρόως γίνεται. Ἀδύνατον δὲ λέγειν, ὡς ἐν χρόνῳ μὲν γίνεται, ἀνεπαισθήτως δέ· ἐν μὲν γὰρ ἐλάττονι διαστήματι ἠδύνατ' ἂν λανθάνειν ὁ χρόνος· ἐν δὲ τοσούτῳ, οἷον τὸ ἀπ' ἀνατολῆς ἐπὶ δύσιν, οὐκ ἂν ἠδύνατο λανθάνειν· αὐτίκα γὰρ ἡλίου ὄντος ἐν τῷ τῆς ἀνατολῆς σημείῳ, ὅλον τὸ ἡμισφαίριον ὑπὲρ γῆς μέχρι τοῦ ἀντικειμένου σημείου φωτίζεται· ἔπειτα, ὅτι πᾶν σῶμα ἔχει κίνησιν φυσικὴν ὡρισμένην· ἡ δὲ τῆς λάμψεως κίνησις καὶ κυκλικὴ καὶ κατ' εὐθεῖαν ἐστίν.

---

23 Matth. 5, 8

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι δὲ καὶ ἐκ τῆς γενέσεως καὶ φθορᾶς τὸ αὐτὸ φαίνεται. Εἰ γὰρ σῶμα ἦν, σκοτιζομένου τοῦ ἀέρος τῇ τοῦ φωτὸς ἀπουσίᾳ, διεφθείρετ' ἂν τὸ τοῦ φωτὸς σῶμα, καὶ ἡ ἐκείνου ὕλη ἄλλο ἂν ἐδέχετο εἶδος, ὅπερ οὐ φαίνεται, εἰ μή τις λέγοι καὶ τὸ σκότος σῶμα εἶναι. Ἀλλ' οὐδὲ φαίνεται ἐκ τίνος γένοιτ' ἂν ὕλης τὸ τοσοῦτον σῶμα, ὃ τὸ ἡμισφαίριον καθ' ἡμέραν πληροῖ. Γελοῖον δὲ καὶ τὸ λέγειν διὰ μόνην τὴν τοῦ φωτίζειν ἀπουσίαν ὅλον τὸ σῶμα φθείρεσθαι. Εἰ δὲ λέγοι τις μὴ φθείρεσθαι ἀλλὰ τῷ ἡλίῳ συμπεριάγεσθαι καὶ δύνειν, τί ἂν εἴποι, ὅτι παρεντιθέντος σώματός τινος περὶ τὴν λαμπάδα, ὅλη ἡ οἰκία σκοτίζεται, καὶ οὐχ ὁρᾶται τὸ φῶς συναθροιζόμενον περὶ τὴν λαμπάδα, οὐδὲ αὐτὴ μᾶλλον φαίνεται λάμπουσα ἐκ προσθήκης ἢ πρότερον.

3. Ὅτι τὸ φῶς ποιότης ἐστίν. Ὡς γὰρ ἡ θέρμη ποιότης ἐστὶν ἐνεργητική, ἑπομένη τῷ οὐσιώδει τοῦ πυρὸς εἴδει, οὕτω καὶ τὸ φῶς ἐνεργητική ἐστι ποιότης, ἑπομένη τῷ οὐσιώδει τοῦ ἡλίου εἴδει, ἢ ἄλλου τινὸς σώματος ἀφ' ἑαυτοῦ λάμποντος, εἴ τι τοιοῦτον ἔστιν· σημεῖον δέ· αἱ γὰρ τῶν διαφόρων ἄστρων ἀκτῖνες διάφορα ποιοῦσι ἀποτελέσματα κατὰ τὰς διαφόρους τῶν σωμάτων φύσεις.

4. Ὅτι δεόντως ἐν τῇ πρώτῃ ἡμέρᾳ παρῆχθαι εἴρηται· οὐ γὰρ χωρὶς ἀδύνατον ἡμέραν εἶναι, ἔδει τῇ πρώτῃ ἡμέρᾳ γενέσθαι· φωτὸς δὲ ἄνευ ἀδύνατον ἡμέραν εἶναι. Ἄλλως τε τὴν τῆς σοφίας τάξιν οὕτως ἔδει φανῆναι, ὥστε πρῶτον τῶν τῆς διακρίσεως ἔργων παραχθῆναι τὸ φῶς ὡς τοῦ πρώτου σώματος εἶδος, καὶ ὡς κοινότερον· κοινωνεῖ | γὰρ κατὰ τοῦτο τοῖς ὑποκάτω f. 238ᵛ
σώμασι τὰ ἄνω.

Ἰστέον δὲ ὅτι ὁ Βασίλειος ἐν τῇ τετάρτῃ ἡμέρᾳ δημιουργηθῆναι λέγει τὸν ἥλιον, τὰς δὲ πρὸ αὐτῆς ἡμέρας καὶ νύκτας γίνεσθαι οὐ τῇ τοῦ ἡλίου κινήσει, ἀλλ' ἐξαπλώσει καὶ συστολῇ τοῦ φωτός. Αὐγουστῖνος δέ φησι μηδεμίαν εὔλογον εἶναι ἂν τότε αἰτίαν τοῦ οὕτω γίνεσθαι, οὔπω τῶν ζῴων ὄντων καὶ τῶν ἀνθρώπων, ὧν ἔδει ταῖς ὄψεσι τοῦτο ὑπηρετεῖσθαι, καὶ οὐδ' ἐν τῇ τοῦ φωτεινοῦ σώματός ἐστι φύσει τὸ ἐν τῇ αὐτοῦ παρουσίᾳ συστέλλειν τὸ φῶς· θαύματι δὲ δυνατὸν τοῦτο γίνεσθαι. Ἐν δὲ τῇ πρώτῃ τῆς φύσεως συστάσει οὐ ζητεῖται θαῦμα, ἀλλ' ὅπερ ἡ τῶν πραγμάτων ἔχει φύσις. Διὸ δεῖ λέγειν, ὅτι διττή ἐστιν ἡ ἐν τῷ οὐρανῷ κίνησις, μία μὲν κοινὴ ὅλῳ τῷ οὐρανῷ, ἥτις ἡμέραν ποιεῖ καὶ νύκτα, καὶ αὕτη δοκεῖ ἐν τῇ πρώτῃ ἡμέρᾳ γενέσθαι· ἄλλη δέ, ἣ γίνεται διάφορος διὰ τῶν διαφόρων σωμάτων, καθ' ἃς κινήσεις γίνεται ἡ πρὸς ἀλλήλας διαφορὰ τῶν ἡμερῶν καὶ μηνῶν καὶ ἐτῶν· καὶ διὰ τοῦτο ἐν μὲν τῇ πρώτῃ ἡμέρᾳ μόνης τῆς διακρίσεως τῆς ἡμέρας καὶ τῆς νυκτός, τῆς διὰ τῆς κοινῆς κινήσεως γινομένης, γίνεται μνήμη· ἐν δὲ τῇ τετάρτῃ, τῆς διαφορᾶς τῶν ἡμερῶν καὶ μηνῶν καὶ ἐνιαυτῶν, ὡς ὅταν λέγῃ· „Καὶ ἔστωσαν εἰς καιροὺς καὶ ἡμέρας καὶ ἐνιαυτούς“, ἥτις διαφορὰ γίνεται διὰ τὰς ἰδίας κινήσεις. Φησὶ δὲ

Ε.Υ.Δ της Κτ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

καὶ ὁ Διονύσιος, ὅτι ἦν ἤδη ἡ τοῦ ἡλίου οὐσία, καὶ εἶχε κοινῶς φωτιστικὴν δύναμιν· μετὰ δὲ τοῦτο δέδοται αὐτῷ δύναμις εἰδικὴ καὶ ὡρισμένη πρὸς τὰ μερικὰ ἀποτελέσματα.

## LXVIII. — Περὶ τοῦ ἔργου τῆς δευτέρας ἡμέρας.

1. Ὅτι ἐν τῇ δευτέρᾳ ἡμέρᾳ γεγένηται τὸ στερέωμα· „Γενηθήτω γάρ, φησί, στερέωμα“· καὶ μετὰ ταῦτα ἐπάγει· „Καὶ ἐγένετο ἑσπέρα καὶ πρωΐ, ἡμέρα δευτέρα“. Τί δ' ἂν εἴη τοῦτο; Ὁ μὲν θεῖος Χρυσόστομος τὸν αὐτὸν οὐρανὸν νοεῖ καὶ ἐν τῷ ἔργῳ τῆς πρώτης ἡμέρας καὶ ἐν τῷ τῆς δευτέρας· εἰπὼν γάρ· „Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν“, ὡς ἐν κεφαλαίῳ εἶπεν ὁ Μωϋσῆς, φησίν· εἶτα ἐξήπλωσεν, ὥσπερ ἂν εἴ τις εἴποι· οὗτος ὁ οἰκοδόμος τήνδε τὴν οἰκίαν ἐποίησεν, εἶτα προσθείη ἐπεξεργαζόμενος καὶ μερίζων, ὅτι πρῶτον ἐποίησε τὸν θεμέλιον, εἶτα τὰ λοιπά. Αὐγουστῖνος δὲ τῷ πρώτῳ τῷ ἐν τῇ πρώτῃ ἡμέρᾳ λεγομένῳ οὐρανῷ τὴν ἀσώματον φύσιν νοεῖ ἀνείδεον οὖσαν, τῷ δὲ τῇ δευτέρᾳ τὸν σωματικὸν οὐρανόν. Βήδας δὲ καὶ Στράβων τῇ μὲν πρώτῃ ἡμέρᾳ λέγουσι γενέσθαι
f. 239 τὸν ἔμπυρον, τῇ δὲ δευτέρᾳ τὸν ἀστρῷον. Ὁ δὲ Δα|μασκηνὸς τῇ μὲν πρώτῃ ἡμέρᾳ σφαιρικόν τινα οὐρανὸν λέγει γενέσθαι ἄστρων χωρίς, περὶ οὗ οἱ φιλόσοφοι διαλέγονται, αὐτὸν εἶναι λέγοντες τὴν ἐννάτην σφαῖραν καὶ τὸ πρῶτον κινητόν, ὃ κινεῖται τῇ καθημέραν κινήσει· τῷ δὲ ἐν τῇ δευτέρᾳ γενομένῳ στερεώματι τὸν ἀστρῷον οὐρανὸν νοεῖ. Καθ' ἑτέραν δὲ ἐξήγησιν ὁ μὲν τῇ πρώτῃ ἡμέρᾳ γεγενημένος ὁ κατηστερισμένος ἐστίν, τῷ δὲ στερεώματι τὸ τοῦ ἀέρος νοεῖται διάστημα, ὅπερ ὁμωνύμως οὐρανὸς λέγεται, καὶ διὰ τοῦτο ἐπισεσημασμένως πρὸς τὸ τὴν ὁμωνυμίαν δηλῶσαι λέγεται ὅτι ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα οὐρανόν, ὡς ἀνωτέρω εἶπεν, ὅτι ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν, ἐπεὶ ἡμέρα ἀντὶ τοῦ διαστήματος τῶν εἰκοσιτεσσάρων ὡρῶν τίθεται.

Ἄλλοι φασίν, ὡς περὶ τοῦ αὐτοῦ οὐρανοῦ ἐν δυσὶν ἡμέραις τὸν λόγον ποιεῖται· ἐν μὲν τῇ πρώτῃ ὡς δημιουργουμένου, ἐν δὲ τῇ δευτέρᾳ ὡς μορφουμένου τρόπῳ τινί· ὃ καὶ περὶ τοῦ φωτὸς Διονύσιος εἴρηκεν τοῦ ἡλιακοῦ, ὅτι ἐν ταῖς τρισὶν ἡμέραις, ἀμόρφωτον ἦν, ἐν δὲ τῇ τετάρτῃ εἰδοπεποίηται.

Ἀλλὰ βέλτιόν ἐστι λέγειν, ὅτι στερέωμα οὐχ ἐν ᾧ τὰ ἄστρα πέπηγεν, ἀλλ' ἐκεῖνο τοῦ ἀέρος τὸ μέρος, ὃ πυκνοῦται εἰς τὰ νέφη, στερέωμα καλούμενον διὰ τὴν ἐν ἐκείνῳ τῷ μέρει πυκνότητα τοῦ ἀέρος· τὸ γὰρ πυκνὸν καὶ ναστὸν σῶμα πρὸς ἀντιδιαστολὴν τοῦ μαθηματικοῦ λέγεται. Κατὰ ταύτην γὰρ τὴν ἐξήγησιν οὐδεμιᾷ δόξῃ ἕπεται ἐναντίον· ταύτην καὶ Αὐγουστῖνος ἐπαινεῖ ὡς καὶ τῇ πίστει συμφωνοῦσαν καὶ πιθανωτέραν.

---

6 Gen. 1, 6  7 Gen. 1, 6

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

2. Ὅτι ὕδατά εἰσιν ὑπὲρ τὸ στερέωμα· „Διεχώρισε γάρ, φησίν, ὁ Θεὸς τὰ ὑπὲρ τὸ στερέωμα ὕδατα τῶν ὑπὸ τὸ στερέωμα ὑδάτων“.

Ἰστέον οὖν, ὅτι ἡ τῆς Γραφῆς αὐθεντεία, κατὰ Αὐγουστῖνον, πάσης ἀνθρωπίνης εὐφυΐας καὶ ἐπιστήμης μείζων ἐστίν· διὸ εἶναι ἐκεῖ ὕδατα οὐδαμῶς ἀμφιβάλλειν χρή· ὁποῖα δέ εἰσιν, οὐ τὸν αὐτὸν τρόπον πάντες δοξάζουσιν. Ὁ μὲν γὰρ Ὠριγένης ἀσωμάτους οὐσίας εἶναι ταῦτά φησιν, διὰ τὸ ἐν Ψαλμοῖς καὶ ἐν Δανιὴλ εἰρημένον, ὡς τῶν ὑπὲρ τὸν οὐρανὸν ὑδάτων αἰνούντων ἢ εὐλογούντων τὸ ὄνομα Κυρίου, πρὸς ὅ φησιν ὁ Βασίλειος αἶνον ὑδάτων εἶναι τὴν ἐξ ἀνθρώπων ἀναπεμπομένην τῷ δημιουργῷ δόξαν, ἐπειδὰν νουνεχῶς εἰς τὰ ὕδατα βλέπωσιν, οἷα καὶ περὶ πυρὸς καὶ χαλάζης καὶ τῶν ὁμοίων λέγεται, ἃ δῆλον ὡς οὐκ εἰσὶ λογικὰ καὶ νοερὰ κτίσματα. Σωματικῶν τοίνυν | ὄντων, εἰ μὲν ὁ κατηστερισμένος οὐρανὸς f. 239ᵛ
νοοῖτο διὰ τοῦ στερεώματος ἐκ τῆς τῶν τεσσάρων στοιχείων φύσεως ὤν, καὶ τὰ ὑπὲρ αὐτὸν ὕδατα τοῖς στοιχειακοῖς ὕδασιν τῆς αὐτῆς εἰσι φύσεως, ὥσπερ ἄλλης φύσεως νοουμένου, καὶ τὰ ὑπὲρ αὐτὸν ὕδατα οὐχ ὁμοειδῆ ἔσται τοῖς ὑποκάτω· εἰ δὲ ἄλλος οὐρανὸς ὑδατώδης διὰ τὸ διαφανὲς μόνον ὑπερ τὸν κατηστερισμένον ὤν, τότε τὰ ὑπὲρ αὐτὸν ὕδατα οὐκ ἔσονται τῆς φύσεως τῶν στοιχειακῶν ὑδάτων. Εἰ δὲ νοοῖτο τὸ τοῦ ἀέρος μέρος, ἐν ᾧ τὰ νέφη συνίστανται, τότε ὕδατά εἰσιν ἐκεῖ, ἐκ τῶν ἀναθυμιάσεων ἀναλυομένων μετεωριζόμενα ὑπὲρ ἄλλο τι τοῦ ἀέρος μέρος, ἐξ ὧν γεννῶνται οἱ ὑετοί· τὸ γὰρ ὑπ' ἐνίων λεγόμενον, ὅτι τὰ εἰς ἀναθυμίασιν ἀναλυόμενα ὕδατα ὑπὲρ τὸν κατηστερισμένον οὐρανὸν ἀνάγονται, ἀδύνατον παντελῶς διὰ τὴν τοῦ οὐρανοῦ στερεότητα καὶ διὰ τὸ μεταξὺ εἶναι τὴν τοῦ πυρὸς χῶραν, ὑφ' ἧς ἀνηλίσκοντ' ἄν. Δῆλον δὲ ὅτι αἱ τοιαῦται ἀναθυμιάσεις οὐδὲ μέχρι κορυφῆς ὀρῶν τινων ἐξικνοῦνται.

3. Ὅτι τὸ στερέωμα διαχωρίζει ἀνὰ μέσον ὕδατος καὶ ὕδατος, οὐχ ὡς ποιητικὸν τῆς διαιρέσεως αἴτιον, ἀλλ' ὥσπερ ὅρος ἀμφοτέρων τῶν ὑδάτων, ὅπως ἂν νοοῖτο τὸ στερέωμα κατὰ τὰς προειρημένας δόξας περὶ αὐτοῦ, εἴτε ὁμοειδῶν ὄντων τῶν ὑδάτων καὶ τῷ στερεώματι χωριζομένων, ὅτι τὰ μὲν ὑπὲρ αὐτὸ κινοῦνται, τὰ δὲ ὑπ' αὐτὸ ἠρεμεῖ· εἴτε ἀνομοειδῶν ὄντων, ὡς τὸν οἰκεῖον τῇ φύσει τρόπον ἑκατέρων ἐχόντων, τῶν μὲν κουφοτέρων ὑπὲρ τὸ στερέωμα, τῶν δὲ βαρυτέρων ἐν τῷ ὑπ' αὐτὸ καὶ κατωτέρῳ τόπῳ. Ἔνιοι δὲ διὰ τῶν ὑδάτων τὴν ἀνείδεον ὕλην νοοῦσιν, ἄλλοι τὰ διαφανῆ πάντα σώματα.

4. Ὅτι οὐχ εἷς ἐστιν οὐρανὸς μόνος, κατὰ τὸ ἐν Ψαλμοῖς εἰρημένον· „Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν“.

Ἰστέον δέ, ὅτι ὁ μὲν Χρυσόστομος ἕνα μὲν μόνον οὐρανὸν εἶναι λέγει,

**1 Gen. 1, 7** **Les mots** ὥσπερ ἄλλης — τοῖς ὑποκάτω **dans la marge supérieure A** **36 Ps. 148, 4**

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸ δὲ πληθυντικὸν ὄνομα τῷ ἰδιώματι τῆς Ἰουδαίων γλώττης ἀκολουθεῖν· ὁ δὲ Βασίλειος καὶ ὁ Δαμασκηνὸς αὐτῷ ἑπόμενος πλείους οὐρανοὺς εἶναί φασιν. Ἀλλὰ πρὸς ἀκριβεστέραν εἴδησιν τοῦ ζητήματος εἰδέναι δεῖ, ὅτι ὁ οὐρανὸς τριχῶς ἐν ταῖς γραφαῖς λέγεται· ποτὲ μὲν γὰρ φύσει λέγεται καὶ κυρίως, καὶ κατὰ τοῦτο λέγεται οὐρανὸς σῶμά τι ὑπερηρμένον καὶ φωτεινὸν ἐνεργείᾳ, ἢ δυνάμει, καὶ φύσει ἄφθαρτον· καὶ κατὰ τοῦτο ὑπόκεινται τρεῖς οὐρανοί, ὁ μὲν πρῶτος, παντελῶς φωτεινός, ὃν καλοῦσι f. 240 πυρινόν· δεύτερος, τὸ παντάπασι διαφανές, ὃ καλοῦσιν | ὑδατῶδες ἢ κρυστάλλινον· ὁ τρίτος, ἐν μέρει μὲν διαφανής, ἐν μέρει δὲ φωτεινὸς ἐνεργείᾳ, ὃν καλοῦσιν ἀστρῷον οὐρανόν, ὃς καὶ εἰς ὀκτὼ σφαίρας διαιρεῖται, τουτέστι τὴν τῶν ἀπλανῶν ἀστέρων καὶ τὰς ἑπτὰ σφαίρας τῶν πλανωμένων, ἃς δυνατὸν ὀκτὼ λέγειν οὐρανούς. Δεύτερον δὲ τρόπον λέγεται οὐρανὸς κατὰ μετοχὴν ἰδιότητός τινος οὐρανίου σώματος, τουτέστιν ὕψους ἢ λαμπρότητος, δυνάμει ἢ ἐνεργείᾳ, καὶ οὕτω τὸ διάστημα ὅλον, ὅπερ ἐστὶ μεταξὺ τῶν τε ὑδάτων καὶ τῆς σεληναίας σφαίρας, ἕνα οὐρανὸν ὁ Δαμασκηνὸς ὑποτίθησιν, ἀέριον οὐρανὸν ὀνομάζων αὐτόν, καὶ οὕτω κατ' αὐτὸν τρεῖς εἰσὶν οὐρανοί, ἀέριος, ἀστρῷος καὶ ἄλλος ὑψηλότερος, εἰς ὃν ὁ Ἀπόστολος λέγεται ἁρπαγῆναι. Ἀλλὰ τοῦτο τὸ διάστημα δύο περιέχει στοιχεῖα, πυρὸς δηλαδὴ καὶ ἀέρος, καὶ ἐν ἑκατέρῳ τούτων ὑψηλοτέρα καὶ ταπεινοτέρα λέγεται χώρα· καὶ διὰ τοῦτο ὁ Ῥαβάνος εἰς τέσσαρα διεῖλεν ἐκεῖνον τὸν οὐρανόν· τὴν μὲν ἄκραν τοῦ πυρὸς χώραν πύρινον ὀνομάζων οὐρανόν· τὴν δὲ ταπεινοτέραν, ὄλυμπον, ἀφ' ὕψους τινὸς ὄρους Ὀλύμπου καλουμένου· πάλιν τὴν ἄκραν τοῦ ἀέρος χώραν αἰθέριον οὐρανὸν ὀνομάζει διὰ τὴν ἔκκαυσιν, τὴν δὲ ταπεινοτέραν, ἀέριον· καὶ οὕτω τῶν τεσσάρων τούτων οὐρανῶν τοῖς ἀνωτέρω τρισὶ συναριθμουμένων, γίνονται κατὰ τὸν Ῥαβάνον ἐν τῷ παντὶ ἑπτὰ σωματικοὶ οὐρανοί. Τρίτον δὲ τρόπον λέγεται οὐρανὸς μεταφορικῶς, καὶ οὕτως ἐνίοτε καὶ αὐτὴ ἡ ἁγία Τριὰς λέγεται οὐρανὸς διὰ τὸ ἀσώματον ὕψος καὶ φῶς, περὶ οὗ οὐρανοῦ νοεῖταί τισι τὸ „ἀναβήσομαι εἰς τὸν οὐρανόν", τῷ διαβόλῳ εἰρημένον, τουτέστιν εἰς τὴν θείαν ἰσότητα· ἐνίοτε δὲ καὶ τὰ πνευματικὰ ἀγαθά, ἐν οἷς ἡ ἀνταπόδοσις τῶν δικαίων διὰ τὴν ὑπεροχὴν οὐρανοὶ ὀνομάζονται, ὅπου λέγεται· „Ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς"· ἐνίοτε δὲ καὶ τὰ τρία γένη τῶν ὑπερφυῶν θεωριῶν, τουτέστι τὸ σωματικόν, τὸ φανταστικὸν καὶ τὸ νοερόν, τρεῖς οὐρανοὶ ὀνομάζονται· περὶ ὧν φησιν Αὐγουστῖνος, ὡς ἐπὶ τὸν τρίτον τοῦτον οὐρανὸν ὁ Παῦλος ἡρπάγη.

## LXIX. — Περὶ τοῦ ἔργου τῆς τρίτης ἡμέρας.

f. 240v 1. Ὅτι ἡ συναγωγὴ τῶν ὑδάτων ἐν τῇ τρίτῃ ἡμέρᾳ ἐγένετο, | τῆς ἀμορφίας τοῦ ἐσχάτου σώματος, ὅ ἐστιν ἡ γῆ, ἣν ἐν τῷ κεκαλύφθαι τοῖς

32 ὑμῶν corrigé de ἡμῶν A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὕδασιν εἶχεν, λελυμένης τῇ ἀποχωρήσει τῶν ὑδάτων, ὥστε τὴν μὲν μόρφωσιν τοῦ ἄνω σώματος γενέσθαι τῇ πρώτῃ ἡμέρᾳ, ἐν ᾗ καὶ δι' ἧς καὶ ἡ τοῦ χρόνου διάκρισις γέγονε τῇ ἡμέρᾳ καὶ τῇ νυκτί· τῇ δὲ δευτέρᾳ τὴν τοῦ μέσου σώματος γενέσθαι μόρφωσιν, τουτέστι τὸ ὕδωρ, διάκρισίν τινα καὶ τάξιν λαβὸν διὰ τοῦ στερεώματος· τῇ δὲ τρίτῃ τὴν τῆς γῆς μόρφωσιν, περὶ ἧς πρότερον μὲν ἐλέγετο, ὅτι ἀόρατος ἦν, ὕστερον δέ· „Ὀφθήτω ἡ ξηρά", ὡς εἰ φυσικὸν ἦν πανταχόθεν τὸ ὕδωρ εἶναι περὶ τὴν γῆν, ἀλλ' ὑπὲρ τῶν ζῴων καὶ τῶν φυτῶν ἐδέησεν εἶναί τι μέρος τῆς γῆς ὑδάτων ἀπηλλαγμένον, τῆς θείας τοῦτο πεποιηκυίας δυνάμεως.

Ἰστέον δέ, ὅτι ὅπου ἂν λέγηται ἐκάλεσεν, ὀνόματος ὁμωνυμία δηλοῦται· οὕτω γὰρ ἐκάλεσε τὸ φῶς ἡμέραν, διότι τὸ τῶν εἰκοσιτεσσάρων ὡρῶν διάστημα κυρίως ἡμέρα καλεῖται, καθὼς λέγεται· „Ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία"· ὁμοίως καὶ ὅτι τὸ στερέωμα ἐκάλεσεν οὐρανόν, ἐπεὶ οὐρανὸς λέγεται μάλιστα τὸ πρώτως κτισθέν· ὁμοίως καὶ ἐνταῦθα τὴν ξηράν, τουτέστι τὸ τῶν ὑδάτων ἀπηλλαγμένον μέρος, ἐκάλεσε γῆν, ὡς ἀντιδιῃρημένην τῇ θαλάσσῃ, καίτοι κοινῶς ἡ σύμπασα γῆ καλεῖται, εἴτε καλύπτοιτο ὕδασιν, εἴτε μή· νοεῖται γὰρ ἐπὶ πάντων ὁμοίως τούτων τῷ ἐκάλεσεν, ὅτι δέδωκε φύσιν ἢ ἰδιότητα ὥσθ' οὕτω δύνασθαι καλεῖσθαι.

**2.** Ὅτι τῇ τρίτῃ ἡμέρᾳ καὶ τὰ φυτὰ παρήχθη, ὥσπερ τῆς κατὰ τὸ ἀόρατον ἀμορφίας τῇ γῇ οὕτω καὶ τῆς κατὰ τὸ κατασκεύαστον λυθῆναι ὀφειλούσης. Ἐκείνη μὲν οὖν λέλυται τῇ τῶν ὑδάτων ἐκ τῶν ὑψηλοτέρων ἀποχωρήσει πρὸς τὰ κοῖλα· αὕτη δὲ τῷ ἐκ τῶν φυόντων, ἐπενδυόντων πως αὐτὴν κόσμῳ, τελείων τῶν εἰδῶν τῶν φυτῶν παραχθέντων, ἐξ ὧν τὰ τῶν ἄλλων σπέρματα ἀνεφύησαν ἂν ἕνεκα τοῦ τῆς διαδοχῆς ἔργου.

## LXX. — Περὶ τοῦ ἔργου τῆς τετάρτης.

**1.** Ὅτι τὰ φῶτα ἐν τῇ τετάρτῃ παρήχθησαν, ὡς τὸ γράμμα τῆς Γενέσεως λέγει. Δεῖ μέντοι νοεῖν, ὅτι τῇ μὲν πρώτῃ παρήχθησαν κατὰ τὴν κοινὴν τοῦ φωτὸς φύσιν, τῇ δὲ τετάρτῃ ἀπεδόθη αὐτοῖς ὡρισμένη τις δύναμις πρὸς ἀποτελέσματα ὡρισμένα. Ὁρῶμεν γάρ τινα τῶν ἀποτελεσμάτων ἐκ τῶν τοῦ ἡλίου ἀκτίνων ὄντα, τινὰ δὲ ἐκ τῶν τῆς σελήνης, οὕτω δὲ καὶ περὶ τῶν ἄλλων· καὶ διὰ τοῦτό | φησιν ὁ Διονύσιος, ὅτι τὸ τοῦ f. 241
ἡλίου φῶς ἐξ ἀρχῆς ἀνείδεον ἦν, τῇ δὲ τετάρτῃ ἡμέρᾳ εἰδοποιήθη, οὐ τῷ οὐσιώδει δηλαδὴ εἴδει, ἀλλὰ ὑποδοχῇ δυνάμεων ὡρισμένων, διὰ τοῦτο μηδὲ ἀπ' ἀρχῆς αὐτῶν γενέσθαι μνήμην, ἀλλὰ μόνον τῇ τετάρτῃ· τότε γάρ τι λέγεται γεγενῆσθαι, ὅταν τὴν ὀφειλομένην τῇ φύσει τελειότητα λάβῃ· ἤ, ὡς ὁ Χρυσόστομος λέγει, ἵνα διὰ τούτου τῆς εἰδωλολατρείας εἰς τὸν λαὸν ἀπαγάγῃ ὁ Μωϋσῆς, δεικνὺς τὰ ἄστρα μὴ εἶναι θεούς, ὅπερ ὑπετόπασαν ἄν, εἰ ἀπ' ἀρχῆς αὐτοὺς ἔλεγε γεγενῆσθαι.

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

2. Ὅτι αἰτία τῆς τῶν φωστήρων παραγωγῆς ἡ τῶν ἀνθρώπων ὑπηρεσία, ὡς λέγεται ἐν τῷ τετάρτῳ τοῦ Δευτερονομίου· „Μήπου τοὺς ὀφθαλμοὺς ἐπάρας πρὸς τὸν οὐρανόν, ἴδε τὸν ἥλιον καὶ τὴν σελήνην, καὶ πάντα τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ πλανηθεὶς προσκυνήσῃς ἄστροις καὶ λατρεύσῃς, ἃ πεποίηκε Κύριος ὁ Θεός σου εἰς ὑπηρεσίαν πᾶσι τοῖς ἔθνεσιν“. Ἡ δὲ ὑπηρεσία ἐκφαίνεται τριπλῶς ἐν τῷ τῆς Γενέσεως γράμματι· πρώτη μὲν κατὰ τὴν ὄψιν, ἥτις ὁδηγεῖ εἰς τὰ ἔργα, καὶ ἄλλως χρησιμεύει πρὸς τὸ τὰ ὄντα γινώσκειν· καὶ διὰ τοῦτό φησιν, „ὥστε λάμπειν ἐν τῷ στερεώματι“· δευτέρα, διὰ τὴν ἐναλλαγὴν τῶν καιρῶν, οἷς ὁ πόνος ἀναιρεῖται καὶ ἡ ἰσχὺς συντηρεῖται καὶ τὰ τῇ τροφῇ ἀναγκαῖα ἀνίσχει, ἃ οὐκ ἂν ἦσαν, εἰ ἀεὶ θέρος ἦν, ἢ χειμών· καὶ διὰ τοῦτό φησιν, „ὥστε εἶναι εἰς καιροὺς καὶ ἡμέρας καὶ ἐνιαυτούς“· τρίτη, διὰ τὸ λυσιτελὲς τῶν συμβολαίων καὶ τῶν ἔργων, καθόσον ἐκ τῶν οὐρανίων φωστήρων αἰθρίας ἢ ἐπομβρίας σημεῖα λαμβάνομεν, ἃ ἐπιτήδεια ταῖς διαφόροις τῶν ἀνθρώπων πραγματείαις· καὶ διὰ τοῦτό φησιν, „ὥστε εἶναι εἰς σημεῖα“.

Εἰσὶ δὲ σημεῖα τῶν σωματικῶν μεταβολῶν, ἀλλ' οὐ τῶν τοῦ αὐτεξουσίου ἠρτημένων· εἶπε δὲ σημεῖα μᾶλλον ἢ αἰτίας, ἵνα τὴν πρόφασιν τῆς εἰδωλολατρείας ἀνέλῃ.

3. Ὅτι οἱ φωστῆρες τοῦ οὐρανοῦ οὐκ εἰσὶν ἔμψυχοι· ἀφειμένων γὰρ τῶν δοξῶν τῶν φιλοσόφων, ὧν ὁ μὲν Ἀναξαγόρας μύδρον εἶπεν εἶναι τὸν ἥλιον, διὸ καὶ κατεψηφίσθη ὑπὸ τῶν Ἀθηναίων· οἱ δὲ Πλατωνικοὶ αὐτόν τε καὶ τὰ ἄλλα οὐράνια ἔμψυχα ὑπετίθεντο, τὴν ἐκκλησιαστικὴν δόξαν σκοπητέον τίς ἐστιν. Ὁ μὲν οὖν Ὠριγένης ἔμψυχα εἶπεν, ἀλλὰ καὶ Ἱερώνυμος συνδοξάζειν αὐτῷ δοκεῖ. Βασίλειος δὲ καὶ Δαμασκηνὸς ἰσχυρίζονται μὴ εἶναι ἔμψυχα. Αὐγουστῖνος δὲ ἐν ἀμφιβόλῳ κατέλιπε, μηδετέρωθι φανερῶς ῥέπων.

f. 241v Δεῖ τοίνυν θεωρεῖν, ὡς ἡ τῆς ψυχῆς | καὶ τοῦ σώματος ἕνωσις διὰ τὴν ψυχήν ἐστιν, οὐ διὰ τὸ σῶμα· οὐ γὰρ διὰ τὴν ὕλην τὸ εἶδος, ἀλλὰ τὸ ἀνάπαλιν. Ἡ δὲ φύσις καὶ δύναμις τῆς ψυχῆς ἐκ τῆς ἐνεργείας καταλαμβάνεται, τρόπον τινὰ καὶ τέλους ὄντος αὐτῆς· εὑρίσκεται γὰρ τὸ σῶμα ἀναγκαῖον πρός τινα ἐνέργειαν τῆς ψυχῆς, ἥτις μεσιτεύοντος πληροῦται τοῦ σώματος· ὃ δῆλον ἐπὶ τῶν ἐνεργειῶν τῆς θρεπτικῆς καὶ αἰσθητικῆς ψυχῆς, καὶ διὰ τοῦτο ἀνάγκη τὰς τοιαύτας ψυχὰς ἑνοῦσθαι σώμασιν. Ἐνέργεια δέ τις ἄλλη τῆς ψυχῆς οὐκ ἐνεργεῖται μὲν μεσιτεύοντος σώματος, χορηγεῖται δ' ὅμως αὐτῇ βοήθειά τις ἐκ τοῦ σώματος, ὥσπερ διὰ τοῦ σώματος τῇ λογικῇ ψυχῇ τὰ φαντάσματα, ὧν δεῖται πρὸς τὸ νοεῖν. Ὅθεν καὶ τὴν τοιαύτην ψυχὴν ἀναγκαῖον ἑνοῦσθαι τῷ σώματι διὰ τὴν ταύτης ἐνέργειαν, εἰ καὶ συμβαίνει ταύτην χωρίζεσθαι. Ἀλλ' οὔτε αἱ θρεπτικαὶ

2 Deut. 4, 19

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἐνέργειαι ἁρμόττουσι τῷ οὐρανίῳ σώματι, τὸ τρέφειν δηλαδὴ καὶ αὔξειν καὶ γεννᾶν, ἀφθάρτῳ κατὰ φύσιν ὄντι, οὔτε αἱ αἰσθητικαί· αἱ γὰρ αἰσθήσεις ἐπὶ τῇ ἁφῇ ἵδρυνται, ἥτις ἐστὶ τῶν στοιχειακῶν ποιοτήτων καταληπτική· πάντα γὰρ τὰ ὄργανα τῶν αἰσθητικῶν δυνάμεων ὡρισμένην ἀναλογίαν ζητοῦσιν κατά τινα μίξιν τῶν στοιχείων, ὧν τῆς φύσεως ἐξῃρημένα ὑπόκεινται τὰ οὐράνια· λοιπαὶ δή, ἡ τοῦ νοεῖν καὶ κινεῖσθαι ἐνέργεια· τὸ γὰρ ἐφίεσθαι καὶ τῷ νῷ καὶ τῇ αἰσθήσει ἐστὶν ἑπόμενον· ἀλλ' ἡ νοερὰ ἐνέργεια μὴ διὰ σώματος πληρουμένη οὐ δεῖται σώματος, εἰ μὴ καθόσον διὰ τῶν αἰσθήσεων αὐτῇ προσάγονται τὰ φαντάσματα· αἱ δὲ τῆς αἰσθητικῆς ψυχῆς ἐνέργειαι τοῖς οὐρανίοις σώμασιν οὐχ ἁρμόζουσιν, ὥστε τῆς νοερᾶς εἵνεκα ἐνεργείας οὐκ ἂν ἡνώθη σώματι τῷ οὐρανίῳ ἡ ψυχή. Πρὸς δὲ τὸ κινεῖν οὐκ ἀνάγκη ὡς εἶδος ἑνοῦσθαι τὴν ψυχὴν σώματι, ἀλλὰ κατὰ δυνάμεως ἐπαφήν, ὡς τὸ κινοῦν ἑνοῦται τῷ κινουμένῳ. Καὶ οἱ Πλατωνικοὶ δὲ κατὰ μόνην τὴν τῆς δυνάμεως ἐπαφὴν ὑπετίθεντο τοῖς σώμασι τὰς ψυχὰς ἑνοῦσθαι.

Ὅτι δὲ τὰ οὐράνια σώματα ὑπό τινος νοερᾶς κινοῦνται δυνάμεως, καὶ οὐ μόνον ὑπὸ τῆς φύσεως, ὡς τὰ βαρέα καὶ κοῦφα, δῆλον ἐκ τοῦ τὴν φύσιν πρὸς ἓν μόνον κινεῖν, ὃ λαβοῦσα ἠρεμεῖ. Τοῦτο δὲ ἐπὶ τῶν οὐρανίων οὐ φαίνεται· ὅθεν δῆλον ὑπό τινος νοερᾶς φύσεως αὐτὰ κινεῖσθαι. Οὕτως οὖν δῆλον ὅτι τὰ οὐράνια σώματα οὐκ εἰσὶν ἔμψυχα τῷ τῶν ζῴων τρόπῳ καὶ τῶν φυτῶν, ἀλλ' ὁμωνύμως, ὥστε μεταξὺ τῶν τιθέντων αὐτὰ ἔμψυχα καὶ τῶν ἄψυχα οἰομένων κατὰ τὴν φωνὴν εἶναι τὸ διάφορον, οὐ κατὰ τὸ πρᾶγμα.

## LXXI. — Περὶ τοῦ ἔργου τῆς πέμπτης ἡμέρας. f. 242

Ὥσπερ ἐν ταῖς τρισὶ τῆς διακρίσεως ἡμέραις ἡ μέση, τουτέστιν ἡ δευτέρα, καταλογίζεται εἰς τὴν τοῦ μέσου σώματος διάκρισιν, τουτέστι τοῦ ὕδατος, οὕτω καὶ τῶν εἰς τὴν διακόσμησιν ἀποταχθεισῶν λοιπῶν τριῶν ἡ μέση, τουτέστιν ἡ πέμπτη, ἀποδίδοται τῇ διακοσμήσει τοῦ μέσου τῇ τῶν πτηνῶν καὶ ἰχθύων παραγωγῇ.

## LXXII. — Περὶ τοῦ ἔργου τῆς ἕκτης.

Ὥσπερ ἐν τῇ πέμπτῃ τὸ μέσον σῶμα κοσμεῖται καὶ ἀνταποκρίνεται τῇ δευτέρᾳ ἡμέρᾳ, οὕτως ἐν τῇ ἕκτῃ κοσμεῖται τὸ ἔσχατον σῶμα, τουτέστιν ἡ γῆ, τῇ παραγωγῇ τῶν χερσαίων ζῴων, καὶ ἀνταποκρίνεται τῇ τρίτῃ ἡμέρᾳ, καὶ καθ' ἑκατέραν γίνεται μνήμη τῆς γῆς.

## LXXIII. — Περὶ τῶν ἀνηκόντων τῇ ἑβδόμῃ.

Ὅτι ἡ συμπλήρωσις τῶν θείων ἔργων ἐπιγράφεται τῇ ἑβδόμῃ ἡμέρᾳ· διπλῆ γάρ ἐστιν ἡ ἑκάστου πράγματος τελειότης, πρώτη μὲν καθ' ἣν τὸ

Ε.Υ.Δ της Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

πρᾶγμα τέλειόν ἐστιν, ἥτις ἐκ τῆς τῶν μερῶν ἀρτιότητος ἀνακύπτει· δευτέρα δὲ τελειότης ἐστὶ τὸ τέλος· τὸ δὲ τέλος ἢ αὐτὴ ἡ ἐνέργεια ἐστίν, ὥσπερ τοῦ κιθαριστοῦ τέλος τὸ κιθαρίζειν, ἢ ἄλλο τι ἐφ' ὅπερ ἀφικνεῖται διὰ τῆς ἐνεργείας, ὥσπερ τοῦ οἰκοδόμου τέλος ἐστὶν ἡ οἰκία, ἣν ποιεῖ τῷ οἰκοδομεῖν. Ἡ δὲ πρώτη τελειότης αἰτία ἐστὶ τῆς δευτέρας· τὸ γὰρ εἶδος ἀρχὴ τῆς ἐνεργείας ἐστίν. Ἡ μὲν οὖν ἐσχάτη τελειότης καὶ τὸ τοῦ παντὸς τέλος ἡ τελεία τῶν ἁγίων μακαριότης ἐστίν, ἥ ἐστιν ἐν τῇ ἐσχάτῃ τοῦ αἰῶνος συντελείᾳ· ἡ δὲ πρώτη, ἡ συνισταμένη ἐν τῇ τοῦ ὅλου ἀκεραιότητι, ἐν τῇ πρώτῃ γέγονε τῶν ὄντων γενέσει. Τοῦτο δὲ ἀποδέδοται τῇ ἑβδόμῃ ἡμέρᾳ, ὥσπερ ἐν τῇ τοῦ Χριστοῦ σαρκώσει ἡ τῆς χάριτος τελείωσις, ὡς ἐν τῷ κατὰ Ἰωάννην· „Ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο".

Ἰστέον δὲ ὅτι οὐδὲν πάντη καινὸν ὕστερον γέγονεν ὑπὸ τοῦ Θεοῦ, ὅπερ ἁμηγέπη ἐν τοῖς τῶν ἓξ ἡμερῶν ἔργοις οὐ προηγήσατο. Τὰ μὲν γὰρ προϋπέστησαν οὐ φυσικῶς μόνον, ἀλλὰ καὶ αἰτιωδῶς, ὥσπερ τὰ νῦν γενόμενα ἄτομα γεγόνασιν ἐν τοῖς πρώτοις ἀτόμοις τῶν ἰδίων εἰδῶν, τὰ δὲ καινὰ εἴδη προϋπέστησαν ἔν τισιν ἐνεργητικαῖς δυνάμεσιν, ὡς τὰ ἐκ σήψεως γενόμενα ζῷα, ἐκ τῶν δυνάμεων τῶν ἄστρων καὶ τῶν στοιχείων τότε προσειλημμένων αὐτοῖς. Καὶ ἄλλα δέ τινα καινὰ εἴδη ἔχοντα ἀναφαίνονται ἐκ συμπλοκῆς διαφόρων ζῴων κατ' εἶδος καὶ φυτῶν, ὡς ἐπὶ
f. 242v τοῦ ἡμιόνος. | Καὶ ταῦτα μὲν προηγήσαντο φυσικῶς· τινὰ δὲ καθ' ὁμοιότητα προηγήσαντο, ὡς αἱ νῦν πλαττόμεναι ψυχαί. Ὁμοίως δὲ καὶ τὸ τῆς ἐνανθρωπίσεως ἔργον, ἐπεὶ ὁ Υἱὸς τοῦ Θεοῦ ἐν ὁμοιώματι ἀνθρώπου γέγονε, καὶ τὸ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς μυστήριον τῶν πρώτων μή γε μυστήριον ἦν εἰς Χριστὸν καὶ τὴν Ἐκκλησίαν κατὰ τὸν Παῦλον. Ἀλλὰ καὶ ἡ μὲν τῶν ψυχῶν δόξα καθ' ὁμοιότητα τῶν ἀγγέλων προηγήσατο· ἡ δὲ σωματική, ἐν τῷ οὐρανῷ, μάλιστα τῷ ἐμπύρῳ. Ὅθεν ἐν τῷ πρώτῳ τοῦ Ἐκκλησιαστοῦ λέγεται· „Οὐδὲν ὑπὸ τὸν ἥλιον καινόν· ἤδη γὰρ προηγήσατο ἐν τοῖς πρὸ ἡμῶν γεγόνασιν".

2. **Περὶ τῆς καταπαύσεως τῆς ἑβδόμης ἡμέρας.** — Καταπαῦσαι λέγεται ὁ Θεὸς ἢ ὡς ἀπὸ τῶν ἔργων παυσάμενος· τῇ γὰρ κινήσει καὶ ἐνεργείᾳ, ᾗ ἔοικεν ἡ τῆς θείας ἀγαθότητος πρόοδος, ἀντίκειται ἡ κατάπαυσις· ἢ ὡς τὴν ἐπιθυμίαν πεπληρωκώς, ἢ καὶ αὐτὴ κινήσει ἔοικεν, εἰς ἕτερόν τι φερομένη· ἢ ὡς πεπαυμένος καινὰ δημιουργεῖν· οὐδὲν γὰρ μετὰ ταῦτα πεποίηκεν, ὅπερ ἐν τοῖς πρώτοις οὐ προηγήσατο τρόπῳ τινί, ὡς εἴρηται· ἢ ὡς ἀπὸ τῶν ἔργων εἰς ἑαυτὸν καταπαύσας καὶ ὥσπερ ἐπιστραφείς, ἵνα δειχθῇ τὸ ἀνενδεὲς αὐτοῦ καὶ τὸ αὔταρκες. Ἀλλ' εἰ καὶ ἐξ

---

11 Ioh. 1, 17  28 Eccl. 1, 10  30 Ce titre, en marge dans A, se rapporte au second article de la question LXXIII.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀϊδίου εἰς ἑαυτὸν κατέπαυσεν, ὅμως τοῦτο τὸ τὰ γενόμενα εἰς ἑαυτὸν καταπαῦσαι τῆς ἑβδόμης ἡμέρας γέγονεν ἔργον.

Εἰ δὲ ἕως ἄρτι ἐργάζεται, ὡς ἐν εὐαγγελίοις λέγεται, τῷ συντηρεῖν καὶ διοικεῖν τὴν παραχθεῖσαν κτίσιν, οὐ τῷ καινὴν κτίσιν δημιουργεῖν. Λέγεται δὲ καὶ ἄλλως καταπαῦσαι, ὅτι ἡμᾶς καταπαύειν ποιεῖ εἰς αὐτὸν ἀπὸ τῶν αὐτοῦ καὶ τῶν ἡμετέρων ἔργων, ἵνα ὦμεν μακάριοι τῷ αὐτοῦ μόνου ἀπολαύειν.

3. Ὅτι ὁ ἁγιασμὸς καὶ ἡ εὐλογία τῇ ἑβδόμῃ ἁρμόζει, διότι ἐν ταύτῃ κατέπαυσεν τῆς δημιουργίας τῶν ὄντων, εἰ καὶ μὴ τῆς διοικήσεως, δοὺς αὐτοῖς πρὸς τὸ πληθύνεσθαι καὶ αὔξειν χάριν καὶ δύναμιν, καὶ διότι ἐν ταύτῃ κατέπαυσεν εἰς ἑαυτόν. Οὐχ ἡγίασε δὲ τὴν ἑβδόμην ὡς ἐκ νέου τινὸς δυναμένου προσγίνεσθαι τῷ Θεῷ ἢ ἀπογίνεσθαι, ἀλλ' ὅτι τοῖς κτίσμασι προσγίνεταί τι ἀγαθὸν διὰ τοῦ πληθυσμοῦ καὶ τῆς ἐν τῷ Θεῷ ἀναπαύσεως. Εὐλογημέναι μὲν οὖν καὶ ἄλλαι ἡμέραι, ἀλλ' ἡ τῆς ἑβδόμης εὐλογία τῆς ἐν τῇ φύσει διαδοχῆς ἐστιν, ἥτις ἐστὶν αὔξησις τοῦ ἀγαθοῦ τῆς κατὰ φύσιν πρώτης ἐν ταῖς ἓξ ἡμέραις γενέσεως.

## LXXIV. — Περὶ πασῶν κοινῇ τῶν ἡμερῶν.

1. Ὅτι ὁ λόγος τῆς διακρίσεως τῶν ἑπτὰ ἡμερῶν ἐκ τῶν προειρημένων φανερός ἐστιν. Τὸ γὰρ πρῶτον μέρος τοῦ κόσμου δημιουργεῖται τῇ πρώτῃ καὶ διακρίνεται καὶ κοσμεῖται τῇ τετάρτῃ. Τὸ μέσον διακρίνεται τῇ δευτέρᾳ | καὶ κοσμεῖται τῇ πέμπτῃ. Τὸ τελευταῖον διακρίνεται τῇ f. 248
τρίτῃ καὶ κοσμεῖται τῇ ἕκτῃ. Ἐν τρισὶ δὲ καὶ κατὰ τοὺς Πυθαγορείους ἡ τελειότης ἐν ἀρχῇ καὶ μέσῃ καὶ τελευτῇ. Ἀλλ' ἀποκρίνεται δὲ καὶ τῇ τελειότητι τοῦ ἓξ ἀριθμοῦ ἡ τῶν θείων ἔργων τελείωσις, ὃς ἐκ τῶν αὐτοῦ μερῶν τὴν σύστασιν ἔχει· ταῦτα δέ εἰσιν· ἕν, δύο, τρία. Ἡ μὲν γὰρ μία ἡμέρα καταλογίζεται τῇ διαμορφώσει τῆς ἀσωμάτου κτίσεως· αἱ δὲ δύο τῇ τῆς σωματικῆς· αἱ δὲ τρεῖς τῇ διακοσμήσει· τῇ δὲ ἑβδόμῃ ἡμέρᾳ προλογίζεταί τι παρὰ πάντα ἐκεῖνα τὰ ἔργα, τὸ ἀπὸ πάντων τὸν Θεὸν εἰς ἑαυτὸν καταπαῦσαι, ἢ ὅτι ἐν αὐτῇ καινὴν κατάστασιν ἔσχεν ὁ κόσμος, ὥστε μηδενὸς αὐτῷ ἐκ νέου προστιθεμένου, τὸ τῆς διαδοχῆς μόνον ἀγαθὸν ἐκ ταύτης ἀρχὴν λαμβάνον, ἀνύεσθαι.

2. Ἰστέον δὲ ὅτι ὁ μὲν Αὐγουστῖνος τὰς ἑπτὰ ἡμέρας μίαν εἶναί φησιν ἑπταπλῶς τοῖς πράγμασιν ἐπανακυκλουμένην, διὰ δὲ τῆς ἡμέρας ἑκάστης τὴν τοῦ ἀγγελικοῦ νοῦ γνῶσιν λέγει νοεῖσθαι, ὥστε πρώτην ἡμέραν εἶναι τοῦ πρώτου ἔργου τὴν γνῶσιν, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως, καὶ διακρίνει τὰς ἡμέρας κατὰ τὴν τῶν γνωστῶν πραγμάτων φυσικὴν τάξιν, ἀλλ' οὐ κατὰ τὸ ἐφεξῆς τῆς γνώσεως, ἢ τῆς παραγωγῆς. Τοῦτο δὲ

27 *ἀσωμάτου* corrigé de *ἀσωματικῆς*

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006